τῶν ἀπαρχῶν ὑμῶν τοῖς ἱερεῦσιν ἔσται· καὶ τὰ πρωτογενήματα
ὑμῶν δώσετε τῷ ἱερεῖ τοῦ θεῖναι εὐλογίας ὑμῶν ἐπὶ τοὺς οἴκους
ὑμῶν. [31] καὶ πᾶν θνησιμαῖον καὶ θηριάλωτον ἐκ τῶν πετεινῶν καὶ 31
ἐκ τῶν κτηνῶν οὐ φάγονται οἱ ἱερεῖς.
[1] Καὶ ἐν τῷ καταμετρεῖσθαι ὑμᾶς τὴν γῆν ἐν κληρονομίᾳ ἀφορι- 45
εῖτε ἀπαρχὴν τῷ κυρίῳ ἅγιον ἀπὸ τῆς γῆς, πέντε καὶ εἴκοσι χιλι-
άδας μῆκος καὶ εὖρος εἴκοσι χιλιάδας· ἅγιον ἔσται ἐν πᾶσι τοῖς
ὁρίοις αὐτοῦ κυκλόθεν. [2] καὶ ἔσται ἐκ τούτου εἰς ἁγίασμα πεντα- 2
κόσιοι ἐπὶ πεντακοσίους τετράγωνον κυκλόθεν, καὶ πήχεις πεντήκοντα
διάστημα αὐτῷ κυκλόθεν. [3] καὶ ἐκ ταύτης τῆς διαμετρήσεως διαμε- 3
τρήσεις μῆκος πέντε καὶ εἴκοσι χιλιάδας καὶ εὖρος δέκα χιλιάδας,
καὶ ἐν αὐτῇ ἔσται τὸ ἁγίασμα, ἅγια τῶν ἁγίων· [4] ἀπὸ τῆς γῆς 4
ἔσται τοῖς ἱερεῦσιν τοῖς λειτουργοῦσιν ἐν τῷ ἁγίῳ καὶ ἔσται τοῖς
ἐγγίζουσι λειτουργεῖν τῷ κυρίῳ, καὶ ἔσται αὐτοῖς τόπος εἰς οἴκους
ἀφωρισμένους τῷ ἁγιασμῷ αὐτῶν. [5] εἴκοσι καὶ πέντε χιλιάδες μῆκος 5
καὶ εὖρος δέκα χιλιάδες ἔσται τοῖς Λευίταις τοῖς λειτουργοῦσιν τῷ
οἴκῳ, αὐτοῖς εἰς κατάσχεσιν, πόλεις τοῦ κατοικεῖν. [6] καὶ τὴν κατά- 6
σχεσιν τῆς πόλεως δώσεις πέντε χιλιάδας εὖρος καὶ μῆκος πέντε
καὶ εἴκοσι χιλιάδας· ὃν τρόπον ἡ ἀπαρχὴ τῶν ἁγίων παντὶ οἴκῳ
Ισραηλ ἔσονται. [7] καὶ τῷ ἡγουμένῳ ἐκ τούτου καὶ ἀπὸ τούτου εἰς 7
τὰς ἀπαρχὰς τῶν ἁγίων εἰς κατάσχεσιν τῆς πόλεως κατὰ πρόσ-
ωπον τῶν ἀπαρχῶν τῶν ἁγίων καὶ κατὰ πρόσωπον τῆς κατασχέ-
σεως τῆς πόλεως τὰ πρὸς θάλασσαν καὶ ἀπὸ τῶν πρὸς θάλασσαν
πρὸς ἀνατολάς, καὶ τὸ μῆκος ὡς μία τῶν μερίδων ἀπὸ τῶν ὁρίων
τῶν πρὸς θάλασσαν καὶ τὸ μῆκος ἐπὶ τὰ ὅρια τὰ πρὸς ἀνατολὰς
τῆς γῆς· [8] καὶ ἔσται αὐτῷ εἰς κατάσχεσιν ἐν τῷ Ισραηλ, καὶ οὐ 8
καταδυναστεύσουσιν οὐκέτι οἱ ἀφηγούμενοι τοῦ Ισραηλ τὸν λαόν
μου, καὶ τὴν γῆν κατακληρονομήσουσιν οἶκος Ισραηλ κατὰ φυλὰς
αὐτῶν. — [9] τάδε λέγει κύριος θεός Ἱκανούσθω ὑμῖν, οἱ ἀφηγού- 9
μενοι τοῦ Ισραηλ· ἀδικίαν καὶ ταλαιπωρίαν ἀφέλεσθε καὶ κρίμα
καὶ δικαιοσύνην ποιήσατε, ἐξάρατε καταδυναστείαν ἀπὸ τοῦ λαοῦ
μου, λέγει κύριος θεός. [10] Ζυγὸς δίκαιος καὶ μέτρον δίκαιον καὶ 10
χοῖνιξ δικαία ἔστω ὑμῖν. [11] τὸ μέτρον καὶ ἡ χοῖνιξ ὁμοίως μία ἔσται 11

45 2 εις αγιασμα] αγιασματα B | αυτω] + ν A || 3 δεκα Q = 𝔐] εικοσι BA: item in 5 | το αγιασμα > B†, αγια > A || 4 init.] pr. αγιον A (in O sub ※) | λειτουργειν] pr. εν αυτοις A || 5 ευρ. / δεκα(BA εικοσι: cf. 3) χιλ.] tr. A | εσται A† = 𝔐(Ketib)] εσονται L, και B || 6 ον τροπον] + και A || 7 προς ανατολας paenult.] pr. τα A || 9 κυριος θεος bis: sic B† hoc loco et in 15. 18 46 1. 16 47 13. 23 48 29, ante hunc locum nusquam (cf. 2 4); A 46 16 αδωναι κυριος, reliquis locis κυριος ο θεος | και 2⁰ > B | εξαρατε] pr. και A || 10 ζυγον δικαιον A | εσται A || 11 το μετρον 1⁰ Ra.] του -ρου (ad 10 tractum) mss.

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id41624694X/859 UNIVERSITÄT LEIPZIG